# 25 NOIEMBRIE

# EGKOMIA SF.MARI MUCENIȚE ECATERINA DE LA ALEXANDRIA

## EGKOMIER-GR


Ἡ ἉΓΊΑ
ΑἸΚΑΤΕΡΊΝΑ

www.tezaurliturgic.ro



# ΕΓΚΩΜΙΑ

## ΚΑΤΑ ΤΟ ΑΚΑΤΑΛΗΠΤΟΝ ΕΣΤΙΝ
## ΕΙΣ ΤΗΝ ΠΑΝΕΥΦΗΜΟΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΝΥΜΦΗΝ
## ΑΙΚΑΤΕΡΙΝΑΝ
## ΤΗΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ

Ἦχος γ΄. Ἀκροστιχὶς ἡ ἑξῆς·
«Αἰκατερίνης μεγαλάθλου αἴνεσις. Χ.»

Ἀγλαόμορφε ἀμνὰς
τοῦ Δεσπότου Ἰησοῦ,
ὃν προσάγομέν σοι νῦν
δέξαι ὕμνον μελιχρόν.

Ἱκετεύομεν θερμῶς·
Ὦ Αἰκατερῖνα, φῶς
τοῦ Σιναίου τηλαυγές,
φώτισόν μου τὴν ψυχήν.

Κῆπος χάριτος ἡδὺς
καὶ εὐώδης ἀληθῶς
πέλει σκήνωμα τὸ σὸν
ἐν Σιναίου τῇ Μονῇ.

Ἀνυμνήσωμεν ψυχῆς
τῆς Αἰκατερίνης πῦρ
καὶ τὸν ἔρωτα αὐτῆς
πρὸς Νυμφίον Ἰησοῦν.

Τῆς Αἰκατερίνης νῦν
παῤῥησίαν πρὸς Χριστὸν
ἐκζητήσωμεν πιστοὶ
τῆς παγκάλου καὶ σοφῆς.

Ἐγκαυχᾶται ἱερῶς
σοῖς σπαργάνοις καὶ ῥοαῖς
σῶν αἱμάτων, θαυμαστή,
τῆς Ἀλεξανδρείας γῆ.

Ῥῦσαι πάντας συμφορῶν
τούς, Αἰκατερῖνα, νῦν
μνήμην στέφοντας τὴν σὴν
ὕμνοις καὶ ᾠδαῖς τερπναῖς.

Ἰαμάτων ποταμὸς
ὤφθης, Μάρτυς εὐσταλὲς
τῶν, Αἰκατερῖνα, σὴν
ἐκζητούντων ἀρωγήν.

Νῦν ἀμνάδα τὴν κλυτὴν
Ἀρχιποίμενος Χριστοῦ
καὶ Σιναίου καλλονὴν
εὐφημήσωμεν φαιδρῶς.

Ἡ Αἰκατερῖνα νῦν
ἐξυμνεῖται ὡς ἀστὴρ
γενναιότητος λαμπρὸς
καὶ ἰάσεων φανός.

Σκῆνος σὸν ὑπερφυῶς
Ἄγγελοι εἰς κορυφὴν
μετεκόμισαν Σινᾶ,
ἀφθαρσίᾳ βραβευθέν.

Μή ἐλλίπης ἐκτενῶς
δυσωποῦσα τὸν Χριστὸν
ὑπὲρ πάντων ὑμνητῶν
μαρτυρίου σου στεῤῥοῦ.

Εὐφραδείας ἀκρεμὼν
ὤφθης, Μάρτυς γεραρά,
ὦ Αἰκατερῖνα, δᾷς
οὐρανίων δωρεῶν.

Γῆ, Αἰκατερῖνα, νῦν
καὶ οὐράνια ὁμοῦ
ἐπαγάλλονται τῷ σῷ
μαρτυρίῳ, τῷ στεῤῥῷ.

Ἀγαλλίαμα Σινᾶ,
τῶν λειψάνων σου σορὸν
ὥσπερ ὄλβον τιμαλφῆ
ἔχει, Μάρτυς εὐσθενές.

Λάμπεις πᾶσι τοῖς πιστοῖς
ὡς, Αἰκατερῖνα, φῶς
εὐγενείας ψυχικῆς
καὶ σοφίας ἀκραιφνοῦς.

Ἀκρεμὼν ὑπομονῆς
ἐν βασάνῳ τοῦ τροχοῦ
ἀνεδείχθης, γυναικῶν
φρυκτωρὲ ἀθλητριῶν.

Θρόνῳ παρεστῶσα νῦν
σοῦ Νυμφίου Ἰησοῦ
καθικέτευε Αὐτὸν
ὑπὲρ σοῦ τῶν ὑμνητῶν.

Λάμψει σοῦ τῶν θαυμαστῶν
καταυγάζεις ἀληθῶς,
ὦ Αἰκατερῖνα, γῆς
πάσης πέρατα φαιδρῶς.

Οὐρανόθεν τοῖς πιστοῖς
πέμψον, εὔφημε ἀμνὰς
τοῦ Χριστοῦ, σὴν ἀρωγήν,
σκέπην καὶ ἐπισκοπήν.

Ὑπερόπτας γηρῶν
δεῖξον πρόσφυγας τοὺς σοὺς
καὶ ἀῤῥεύστων ζηλωτὰς
τοὺς ὑμνοῦντάς σε πιστῶς.

Ἀλεξάνδρεια, πατρὶς
σοῦ ἡ ἔνδοξος, τιμᾷ
τὴν σὴν μνήμην καὶ Σινᾶ
ὡς προστάτιν σε ὑμνεῖ.

Ἰησοῦ ἀμνὰς ἁγνή,
σοφισθεῖσα ὑπ᾽ Αὐτοῦ,
καλλιμάρτυς, λόγοις σοῖς
ᾔσχυνας σοφοὺς τῆς γῆς.

Νίκης φέρουσα χρυσοῦν
στέφος, Μάρτυς, πρὸς σκηνὰς
σοῦ Νυμφίου παμφαεῖς
ἀνελήλυθας σαφῶς.

Εὐχαρίστως οἱ πιστοὶ
σοί, Αἰκατερῖνα, νῦν
ἐκβοῶμεν· Εὐσταλῶν,
χαῖρε, αὔχος γυναικῶν.

www.tezaurliturgic.ro

Σῶμα Ἄγγελοι τὸ σὸν
ἤνεγκον εἰς κορυφὴν
τοῦ Σινᾶ καὶ σὴν ψυχὴν
εἰς τὰς χεῖρας τοῦ Θεοῦ.

Ἵνα μέλπωμεν τὴν σὴν
προστασίαν ἐν δεινοῖς,
χείλη ἄνοιξον ἡμῶν,
ὑμνηπόλων σου πιστῶν.

Δόξα.

Σκέπε, πάνσεπτε Τριάς,
Σὲ δοξάζοντας ἀεὶ
ὑμνῳδίαις μελιχραῖς
ὡς αἰτίαν τοῦ παντός.

Καὶ νῦν. Θεοτοκίον.

Χαρμονὴ τῶν χοϊκῶν,
Θεοτόκε, τὴν ἀχλὺν
ἀποδίωξον ἡμῶν
λυπηρῶν παντοδαπῶν.

Δίστιχα.

Αἰκατερῖναν ἐγκωμίοις ᾔνεσε
σὺν Δαμιανῷ πανσέπτῳ Χαραλάμπης.

Αἰκατερίνης ἔπλεξε στέφος ὕμνων
Γεωργίου χάριν Χαραλάμπης πόθῳ.